CAMBRIDGE

Cambridge University Press
978-1-108-03972-7 - Ecclesiasticus: The Greek Text of Codex 248: Edited with a Textual Commentary and Prolegomena
Edited by J. H. A Hart
Excerpt
More information

# ΕΚΚΛΗCΙΑCΤΙΚΟC

I 1 Πᾶσα σοφία παρὰ Κυρίου, καὶ μετ᾽ αὐτοῦ ἐστιν εἰς τὸν αἰῶνα. 147[1]
2 ἄμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας
αἰῶνος τίς ἐξαριθμήσει;
3 ὕψος οὐρανοῦ καὶ πλάτος γῆς καὶ ἄβυσσον καὶ σοφίαν
4 τίς ἐξιχνιάσει; προτέρα πάντων ἔκτισται
σοφία, καὶ σύνεσις φρονήσεως ἐξ αἰῶνος.
πηγὴ σοφίας λόγος θεοῦ ἐν ὑψίστοις· καὶ αἱ πορεῖαι
αὐτῆς ἐντολαὶ αἰώνιοι.
6 ῥίζα σοφίας τίνι ἀπεκαλύφθη; καὶ τὰ πανουργεύ-
8 ματα αὐτῆς τίς ἔγνω; εἷς ἐστι σοφός, φοβερὸς
σφόδρα, καθήμενος ἐπὶ τοῦ θρόνου αὐτοῦ.
9 Κύριος αὐτὸς ἔκτισεν αὐτήν, καὶ εἶδε καὶ ἐξηρίθμησεν αὐτήν,
καὶ ἐξέχεεν αὐτὴν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ,
10 μετὰ πάσης σαρκὸς κατὰ τὴν δόσιν αὐτοῦ, καὶ ἐχορήγησεν αὐτὴν
11 τοῖς ἀγαπῶσιν αὐτόν. φόβος Κυρίου δόξα καὶ καύχημα
καὶ εὐφροσύνη καὶ στέφανος ἀγαλλιάματος.
12 φόβος Κυρίου τέρψει καρδίαν, καὶ δώσει εὐφροσύνην καὶ χαρὰν
13 καὶ μακροημέρευσιν. τῷ φοβουμένῳ τὸν κύριον εὖ
ἔσται ἐπ᾽ ἐσχάτων, καὶ ἐν ἡμέρᾳ τελευτῆς αὐτοῦ εὐλο-
14 γηθήσεται. ἀρχὴ σοφίας φοβεῖσθαι τὸν κύριον, καὶ
μετὰ πιστῶν ἐν μήτρᾳ συνεκτίσθη αὐτοῖς·
15 μετὰ ἀνθρώπων θεμέλιον αἰῶνος ἐνόσσευσε, καὶ μετὰ τοῦ
σπέρματος αὐτῶν ἐμπιστευθήσεται.



© in this web service Cambridge University Press www.cambridge.org

Cambridge University Press
978-1-108-03972-7 - Ecclesiasticus: The Greek Text of Codex 248: Edited with a Textual Commentary and Prolegomena
Edited by J. H. A Hart
Excerpt
More information



*πλησμονὴ σοφίας φοβεῖσθαι τὸν κύριον, καὶ μεθύσκει* 16
*αὐτοὺς ἀπὸ τῶν καρπῶν αὐτῆς·*
*πάντα τὸν οἶκον αὐτῶν ἐνέπλησεν ἐπιθυμημάτων* 17
*αὐτῆς, καὶ τὰ ἀποδοχεῖα ἀπὸ τῶν γενημάτων αὐτῆς.*
*ἀμφότερα δέ ἐστι δῶρα θεοῦ εἰς εἰρήνην.*
*στέφανος σοφίας φοβεῖσθαι τὸν κύριον, ἀναθάλλων εἰρήνην* 18
147[2] *καὶ ὑγίειαν ἰάσεως. πλατύνει δὲ καύχησιν τοῖς ἀγα-*
*πῶσιν αὐτόν· ἐπιστήμην καὶ γνῶσιν συνέσεως* 19
*ἐξώμβρισεν ἡ σοφία, καὶ δόξαν κρατούντων αὐτὴν*
*ἀνύψωσε. ῥίζα σοφίας φοβεῖσθαι τὸν κύριον, καὶ οἱ κλάδοι* 20
*αὐτῆς μακροημέρευσις. φόβος* Κυρίου *ἀπωθεῖται ἁ-*
*μαρτήματα, παραμένων δὲ ἀποστρέφει ὀργήν·*
*οὐ δυνήσεται θυμώδης ἀνὴρ δικαιωθῆναι· ἡ γὰρ ῥοπὴ* 22
*τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ.*
*ἕως καιροῦ ἀνέξεται μακρόθυμος, καὶ ὕστερον αὐτῷ ἀνα-* 23
*δώσει εὐφροσύνη. ἕως καιροῦ κρύψει τοὺς λόγους αὐτοῦ,* 24
*καὶ χείλη πολλῶν ἐκδιηγήσεται σύνεσιν αὐτοῦ.*
*ἐν θησαυροῖς σοφίας παραβολαὶ ἐπιστήμης, βδέλυγμα* 25
*δὲ ἁμαρτωλῷ θεοσέβεια.*
*ἐπιθυμήσας σοφίαν διατήρησον ἐντολάς, καὶ* Κύριος *χορη-* 26
*γήσει σοι αὐτήν. σοφία γὰρ καὶ παιδεία φόβος* Κυρίου, *καὶ* 27
*εὐδοκία αὐτοῦ πίστις καὶ πρᾳότης.*
*μὴ ἀπειθήσῃς φόβῳ* Κυρίου *ἐνδεὴς ὤν, καὶ μὴ προσέλθῃς* 28
*αὐτῷ ἐν καρδίᾳ δισσῇ.*
*μὴ ὑποκριθῇς ἐν στόμασιν ἀνθρώπων, καὶ ἐν τοῖς χείλεσί σου* 29
*μὴ πρόσεχε. μὴ ἐξύψου σεαυτόν, ἵνα μὴ πέσῃς καὶ* 30
*ἐπαγάγῃς τῇ ψυχῇ σου ἀτιμίαν,*
*καὶ ἀποκαλύψει* Κύριος *τὰ κρυπτά σου πάντα, καὶ ἐν μέσῳ* 31
*συναγωγῆς καταβαλεῖ σε. ὅτι οὐ προσῆλθες ἐν ἀλη-*
*θείᾳ τῷ φόβῳ τοῦ κυρίου, καὶ ἡ καρδία σου πλήρης δόλου.*

Περὶ *ὑπομονῆς*

*τέκνον, εἰ προσέρχῃ δουλεύειν τῷ κυρίῳ, ἑτοίμασον τὴν ψυχήν* 1 II
*σου εἰς πειρασμόν. εὔθυνον τὴν καρδίαν σου καὶ καρ-* 2
*τέρησον, καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς·*
*κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ᾽ ἐσχάτων σου.* 3

18 Cod. *καύχησις*



© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-108-03972-7 - Ecclesiasticus: The Greek Text of Codex 248: Edited with a Textual Commentary and Prolegomena
Edited by J. H. A Hart
Excerpt
More information



4 πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι δέξαι ἀσμένως, καὶ ἐν ἀλλάγ- 148[1]
ματι ταπεινώσεώς σου μακροθύμησον·
5 ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσός, καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ
6 ταπεινώσεως. πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου·
καὶ εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ᾽ αὐτόν.
8 οἱ φοβούμενοι τὸν κύριον, πιστεύσατε αὐτῷ καὶ οὐ μὴ πταίσῃ
9 ὁ μισθὸς ὑμῶν. οἱ φοβούμενοι τὸν κύριον, ἐλπίσατε
εἰς ἀγαθά, καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους.
7 οἱ φοβούμενοι τὸν κύριον, ἀναμείνατε τὸ ἔλεος αὐτοῦ, καὶ μὴ
ἐκκλίνητε, ἵνα μὴ πέσητε.
10 ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε
Κυρίῳ καὶ κατῃσχύνθη; ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ
καὶ ἐγκατελείφθη; ἢ τίς ἐπεκαλέσατο αὐτόν, καὶ ὑπερεῖδεν
11 αὐτόν; διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, μακρό-
θυμος καὶ πολυέλεος, καὶ ἀφίησιν ἁμαρτίας καὶ σώζει ἐν
12 καιρῷ θλίψεως. οὐαὶ καρδίαις δειλαῖς καὶ χερσὶ
παρειμέναις, καὶ ἁμαρτωλῷ ἐπιβαίνοντι δύο τρίβους.
13 οὐαὶ καρδίᾳ παρειμένῃ, ὅτι οὐ πιστεύει· διὰ τοῦτο οὐ σκεπασ-
14 θήσεται. οὐαὶ ὑμῖν τοῖς ἀπολωλεκόσι τὴν ὑπομονήν·
καὶ τί ποιήσετε ὅταν ἐπισκέπτηται Κύριος;
15 οἱ φοβούμενοι Κύριον οὐκ ἀπειθήσουσι ῥήμασιν αὐτοῦ,
καὶ οἱ ἀγαπῶντες αὐτὸν συντηρήσουσι τὰς ὁδοὺς αὐτοῦ.
16 οἱ φοβούμενοι Κύριον ζητήσουσιν εὐδοκίαν παρ᾽ αὐτοῦ,
καὶ οἱ ἀγαπῶντες αὐτὸν πλησθήσονται τοῦ νόμου.
17 οἱ φοβούμενοι Κύριον ἑτοιμάσουσι καρδίας αὐτῶν, καὶ ἐνώ-
πιον αὐτοῦ ταπεινώσουσι τὰς ψυχὰς αὐτῶν.
18 ἐμπεσούμεθα εἰς χεῖρας θεοῦ καὶ οὐκ εἰς χεῖρας ἀνθρώπων·
ὡς γὰρ ἡ μεγαλωσύνη αὐτοῦ, οὕτως καὶ τὸ ἔλεος αὐτοῦ.
III 1 ἐμοῦ τοῦ πατρὸς ἀκούσατε, τέκνα, καὶ οὕτως ποιήσατε, ἵνα σωθῆτε.
2 ὁ γὰρ κύριος ἐδόξασε πατέρα ἐπὶ τέκνοις, καὶ κρίσιν μητρὸς ἐστε- 148[2]
3 ρέωσεν ἐφ᾽ υἱούς. ὁ τιμῶν πατέρα ἐξιλάσεται
4 ἁμαρτίας· καὶ ὡς ἀποθησαυρίζων ὁ δοξάζων μητέρα αὐτοῦ.
5 ὁ τιμῶν πατέρα εὐφρανθήσεται ἐπὶ τέκνοις, καὶ ἐν ἡμέρᾳ προσευχῆς
αὐτοῦ εἰσακουσθήσεται.
6 ὁ δοξάζων πατέρα μακροημερεύσει, καὶ ὁ εἰσακούων Κυρίου ἀνα-
παύσει μητέρα αὐτοῦ. ὁ φοβούμενος Κύριον τιμήσει πατέρα,

3 Cod. ἐξιλάσκεται



© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-108-03972-7 - Ecclesiasticus: The Greek Text of Codex 248: Edited with a Textual Commentary and Prolegomena
Edited by J. H. A Hart
Excerpt
More information



*καὶ ὡς δεσπόταις δουλεύσει τοῖς γεννήσασιν αὐτόν.* 7
*ἐν ἔργῳ καὶ λόγῳ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, ἵνα ἐπέλθῃ* 8
*σοι εὐλογία παρ᾽ αὐτῶν· εὐλογία γὰρ πατρὸς στηρίζει* 9
*οἴκους τέκνων, κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια.*
*μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου, οὐ γάρ ἐστί σοι δόξα* 10
*πατρὸς ἀτιμία· ἡ γὰρ δόξα ἀνθρώπου ἐκ τιμῆς πατρὸς αὐτοῦ,* 11
*καὶ ὄνειδος τέκνοις μήτηρ ἐν ἀδοξίᾳ.*
*τέκνον ἀντιλαβοῦ ἐν γήρᾳ πατρός σου, καὶ μὴ λυπήσῃς* 12
*αὐτὸν ἐν ζωῇ σου. καὶ ἐὰν ἀπολείπῃ σύνεσιν, συγγνώμην* 13
*ἔχε, καὶ μὴ ἀτιμάσῃς αὐτὸν ἐν πάσῃ ἰσχύι σου·*
*ἐλεημοσύνη γὰρ πατρός σου οὐκ ἐπιλησθήσεται, καὶ ἀντὶ* 14
*ἁμαρτιῶν προσανοικοδομηθήσεταί σοι·*
*ἐν ἡμέρᾳ θλίψεως ἀναμνησθήσεταί σου· ὡς εὐδία* 15
*ἐπὶ παγετῷ, οὕτως ἀναλυθήσονταί σου αἱ ἁμαρτίαι.*
*ὡς βλάσφημος ὁ ἐγκαταλείπων πατέρα αὐτοῦ, καὶ κεκατη-* 16
*ραμένος ὑπὸ Κυρίου ὁ παροργίζων μητέρα αὐτοῦ.*
*τέκνον, τὰ ἔργα σου ἐν πρᾳότητι διεξάγαγε, καὶ ὑπὸ* 17
*ἀνθρώπου δεκτοῦ ἀγαπηθήσῃ. ὅσῳ μέγας εἶ, τοσούτῳ* 18
*ταπείνου σεαυτόν, καὶ ἔναντι Κυρίου εὑρήσεις χάριν.*
*πολλοί εἰσιν ὑψηλοὶ καὶ ἐπίδοξοι· ἀλλὰ πρᾳέσιν ἀπο-*
*καλύπτεται μυστήρια. ὅτι μεγάλη ἡ δυναστεία Κυρίου,* 20
*καὶ ὑπὸ τῶν ταπεινῶν δοξάζεται.*
*χαλεπώτερά σου μὴ ζήτει ἀναισθήτως, καὶ ἰσχυρότερά* 21
*σου μὴ ἐξέταζε ἀφροσύνῃ.*
149[1] *ἃ προσετάγη σοι, ταῦτα διανοοῦ ὁσίως· οὐ γάρ ἐστί σοι χρεία* 22
*τῶν κρυπτῶν βλέπειν ὀφθαλμοῖς.*
*ἐν τοῖς περισσοῖς τῶν λόγων σου μὴ περιεργάζου· πλείονα γὰρ* 23
*συνέσεως ἀνθρώπων ὑπεδείχθη σοι.*
*πολλοὺς ἐπλάνησεν ἡ ὑπόληψις αὐτῶν ἡ ματαία,* 24
*καὶ ὑπόνοια πονηρὰ ὠλίσθησε διανοίας αὐτῶν.*
*κόρας μὴ ἔχων ἀπορήσεις φωτός, γνώσεως δὲ ἀμοιρῶν*
*μὴ ἐπαγγέλλου. καρδία σκληρὰ κακωθήσεται*
*ἐπ᾽ ἐσχάτων, καὶ ὁ ἀγαπῶν κίνδυνον ἐν αὐτῷ ἀπολεῖται.* 26
*καρδία σκληρὰ βαρυνθήσεται πόνοις, καὶ ὁ ἁμαρτωλὸς* 27
*προσθήσει ἁμαρτίας ἐφ᾽ ἁμαρτίας.*
*ἐν ἐπαγωγῇ ὑπερηφάνου οὐκ ἔστιν ἴασις,* 28
*ὁδοιπορίαι αὐτοῦ ἐκριζωθήσονται, φυτὸν γὰρ πονη-*
*ρίας ἐρρίζωκεν ἐν αὐτῷ. καρδία συνετοῦ διανοηθή-* 29



© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-108-03972-7 - Ecclesiasticus: The Greek Text of Codex 248: Edited with a Textual Commentary and Prolegomena
Edited by J. H. A Hart
Excerpt
More information



σεται παραβολήν, καὶ οὖς ἀκροατοῦ ἐπιθυμία σοφοῦ.
30 πῦρ φλογιζόμενον ἀποσβέσει ὕδωρ, καὶ ἐν ἐλεημο-
σύναις ἐξιλάσεται ἁμαρτίας.
31 καὶ Κύριος ὁ ἀνταποδιδοὺς χάριτας μέμνηται εἰς τὰ μετὰ ταῦτα,
καὶ ἐν καιρῷ πτώσεως αὐτοῦ εὑρήσει στήριγμα.
IV 1 τέκνον, τὴν ζωὴν τοῦ πτωχοῦ μὴ ἀποστερήσῃς, καὶ μὴ παρελ-
κύσῃς ὀφθαλμοὺς ἐπιδεεῖς.
2 ψυχὴν πεινῶσαν μὴ λυπήσῃς, καὶ μὴ παρελκύσῃς ἄνδρα
3 ἐν ἀπορίᾳ αὐτοῦ. καρδίαν παρωργισμένην μὴ
προσταράξῃς, καὶ μὴ παρελκύσῃς δόσιν προσδεομένου.
4 ἱκέτην θλιβόμενον μὴ ἀπαναίνου, καὶ μὴ ἀποστρέψῃς
τὸ πρόσωπόν σου ἀπὸ πτωχοῦ.
5 ἀπὸ δεομένου μὴ ἀποστρέψῃς ὀφθαλμόν, καὶ μὴ δῷς
τόπον ἀνθρώπῳ καταράσασθαί σε.
6 καταρωμένου γάρ σε ἐν πικρίᾳ ψυχῆς αὐτοῦ, τῆς δεήσεως
αὐτοῦ εἰσακούσεται ὁ ποιήσας αὐτόν. 149[2]
7 προσφιλῆ σεαυτὸν ποίει συναγωγῇ, καὶ μεγιστᾶνι ταπείνου
8 τὴν κεφαλήν σου. κλῖνον τὸ οὖς σου πτωχῷ ἀλύπως,
καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πρᾳΰτητι.
9 ἐξελοῦ ἀδικούμενον ἐκ χειρὸς ἀδικοῦντος, καὶ μὴ ὀλι-
10 γοψυχήσῃς ἐν τῷ κρίνειν σε. γίνου ὀρφανῷ ὡς πατήρ, καὶ
ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν· καὶ ἔσῃ ὡς υἱὸς Ὑψίστου, καὶ
ἀγαπήσει σε μᾶλλον ἡ μήτηρ σου.
11 ἡ σοφία υἱοὺς ἑαυτῆς ἀνύψωσε, καὶ ἐπιλαμβάνεται τῶν
12 ζητούντων αὐτήν. ὁ ἀγαπῶν αὐτὴν ἀγαπᾷ ζωήν,
καὶ οἱ ὀρθρίζοντες πρὸς αὐτὴν ἐμπλησθήσονται εὐφροσύνης·
13 ὁ κρατῶν αὐτῆς κληρονομήσει δόξαν, καὶ οὗ εἰσπορεύεται
14 εὐλογεῖ Κύριος. οἱ λατρεύοντες αὐτῇ λειτουργήσουσιν ἁγίῳ,
καὶ τοὺς ἀγαπῶντας αὐτὴν ἀγαπᾷ Κύριος·
15 ὁ ἐπακούων αὐτῆς κρινεῖ ἔθνη, καὶ ὁ προσέχων αὐτῇ
16 κατασκηνώσει πεποιθώς. ἐὰν ἐμπιστεύσῃ, κατα-
κληρονομήσει αὐτήν, καὶ ἐν κατασχέσει ἔσονται αἱ γενεαὶ
17 αὐτῶν. ὅτι διεστραμμένως πορεύσεται μετ᾽ αὐτοῦ ἐν
πρώτοις, φόβον καὶ δειλίαν ἐπάξει ἐπ᾽ αὐτόν, καὶ βα-
σανίσει αὐτὸν ἐν παιδείᾳ αὐτῆς,
ἕως οὗ ἐμπιστεύσῃ τῇ ψυχῇ αὐτοῦ, καὶ πειράσῃ αὐτὸν ἐν τοῖς
18 δικαιώμασιν αὐτῆς. καὶ πάλιν ἐπανήξει κατ᾽ εὐθεῖαν

31 Cod. μεταταῦτα 17 Cod. δικαιώμασιν αὐτοῖς



© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-108-03972-7 - Ecclesiasticus: The Greek Text of Codex 248: Edited with a Textual Commentary and Prolegomena
Edited by J. H. A Hart
Excerpt
More information



πρὸς αὐτὸν καὶ εὐφρανεῖ αὐτόν, καὶ ἀποκαλύψει αὐτῷ
τὰ κρυπτὰ αὐτῆς. ἐὰν ἀποπλανήθῃ, ἐγκαταλείψει 19
αὐτόν, καὶ παραδώσει αὐτὸν εἰς χεῖρας πτώσεως αὐτοῦ.
συντήρησον καιρὸν καὶ φύλαξαι ἀπὸ πονηροῦ, 20
καὶ μὴ αἰσχυνθῇς περὶ τῆς ψυχῆς' σου·
ἔστι γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, καὶ ἔστιν αἰσχύνη 21
δόξα καὶ χάρις. μὴ λάβῃς πρόσωπον κατὰ 22
150[1] τῆς ψυχῆς σου, καὶ μὴ ἐντραπῇς εἰς πτῶσίν σου.
μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας· καὶ μὴ κρύψῃς 23
τὴν σοφίαν σου εἰς καλλονήν.
ἐν γὰρ λόγῳ γνωσθήσεται σοφία, καὶ παιδεία ἐν ῥήμασι 24
γλώσσης. μὴ ἀντίλεγε τῇ ἀληθείᾳ κατὰ μηδὲ ἕν, 25
καὶ περὶ ψεύσματος τῆς ἀπαιδευσίας σου ἐντράπηθι·
μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίαις σου, καὶ μὴ βι- 26
άζου ῥοῦν ποταμοῦ. μὴ ὑποστρώσῃς ἀνθρώπῳ μωρῷ 27
σεαυτόν, καὶ μὴ λάβῃς πρόσωπον δυνάστου.
ἕως θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας, καὶ Κύριος 28
ὁ θεὸς πολεμήσει ὑπέρ σου. μὴ γίνου θρασὺς ἐν τῇ 29
γλώσσῃ σου, καὶ νωθρὸς καὶ παρειμένος ἐν τοῖς ἔργοις σου.
μὴ ἴσθι ὡς λέων ἐν τῇ οἰκίᾳ σου, καὶ φαντασιοκοπῶν 30
ἐν τοῖς οἰκέταις σου. μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη 31
εἰς τὸ λαβεῖν, καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη.
μὴ ἔπεχε ἐπὶ τοῖς χρήμασίν σου, καὶ μὴ εἴπῃς· αὐτάρκη 1
μοί ἐστιν εἰς ζωήν. μὴ ἐξακολούθει τῇ ψυχῇ σου καὶ τῇ 2 V
ἰσχύι σου, τοῦ πορεύεσθαι ἐν ὁδοῖς καρδίας σου·
μὴ εἴπῃς· τίς με δυναστεύσει διὰ τὰ ἔργα μου; ὁ γὰρ κύριος ἐκ- 3
δικῶν ἐκδικήσει σου τὴν ὕβριν.
μὴ εἴπῃς· ἥμαρτον, καὶ τί μοι ἐγένετο λυπηρόν; ὁ γὰρ κύριός 4
ἐστι μακρόθυμος· οὐ μή σε ἀνῇ.
περὶ ἐξιλασμοῦ μὴ ἄφοβος γίνου, ἐν πλεονασμῷ προσ- 5
θεῖναι ἁμαρτίας ἐφ' ἁμαρτίαις·
καὶ μὴ εἴπῃς· ὁ οἰκτιρμὸς αὐτοῦ πολύς, τὸ πλῆθος τῶν 6
ἁμαρτιῶν μου ἐξιλάσεται. ἔλεος γὰρ καὶ ὀργὴ παρ'
αὐτῷ ταχυνεῖ, καὶ ἐπὶ τοὺς ἁμαρτωλοὺς καταπαύσει
ὁ θυμὸς αὐτοῦ. μὴ ἀναμείνῃς ἐπιστρέψαι ἐπὶ Κύριον, 7
καὶ μὴ ὑπερβάλλου ἡμέραν ἐξ ἡμέρας.
150[2] ἐξαπίνης γὰρ ἐξελεύσεται ὀργὴ Κυρίου, καὶ ὡς ἀμελήσεις
ἐκτριβήσῃ, καὶ ἐν καιρῷ ἐκδικήσεως ἐξολῇ.



© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-108-03972-7 - Ecclesiasticus: The Greek Text of Codex 248: Edited with a Textual Commentary and Prolegomena
Edited by J. H. A Hart
Excerpt
More information



8 μὴ ἔπεχε ἐπὶ χρήμασιν ἀδικοῖς· οὐδὲν γὰρ ὠφελήσει ἐν
9 ἡμέρᾳ ἐπαγωγῆς. μὴ λίκμα ἐν παντὶ ἀνέμῳ, καὶ μὴ
πορεύου ἐν πάσῃ ἀτραπῷ· οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος.
10 ἴσθι ἐστηριγμένος ἐν συνέσει σου ἀσφαλεῖ, καὶ εἷς ἔστω ὁ λόγος
σου.
11 γίνου ταχὺς ἐν ἀκροάσει σου ἀγαθῇ, καὶ ἔστω ἐν ἀληθείᾳ
ἡ ζωή σου, καὶ ἐν μακροθυμίᾳ φθέγγου ἀπόκρισιν ὀρθήν.
12 εἰ ἔστι σοι σύνεσις, ἀποκρίθητι τῷ πλησίον· εἰ δὲ μή, ἡ
χείρ σου ἔστω ἐπὶ τῷ στόματί σου.
13 δόξα καὶ ἀτιμία ἐν λαλιᾷ, καὶ γλῶσσα ἀνθρώπου πτῶσις αὐτῷ.
14 μὴ κληθήσῃς ψίθυρος, καὶ τῇ γλώσσῃ σου μὴ ἐνέδρευε·
ἐπὶ γὰρ τῷ κλέπτῃ ἐστὶν αἰσχύνη μοχθηρά, καὶ κατάγνωσις
15 πονηρὰ ἐπὶ διγλώσσῳ. ἐν μεγάλῳ καὶ ἐν μικρῷ
VI 1 μὴ ἀγνόει μηδὲ ἕν, καὶ ἀντὶ φίλου μὴ γίνου ἐχθρός·
ὄνομα γὰρ πονηρὸν αἰσχύνην καὶ ὄνειδος κληρονομήσει·
οὕτως ὁ ἁμαρτωλὸς δίγλωσσος ἀτιμίαν ἕξει.
2 μὴ ἐπάρῃς σεαυτὸν ἐν βουλῇ ψυχῆς σου, ἵνα μὴ διαρ-
παγῇ ὡς ταῦρος ἡ ψυχή σου·
3 τὰ φύλλα σου καταφάγεσαι καὶ τοὺς καρπούς σου ἀπολέσεις,
καὶ ἀφήσεις σεαυτὸν ὡς ξηρὸν ξύλον.
4 ψυχὴ πονηρὰ ἀπολεῖ τὸν κτησάμενον αὐτήν, καὶ ἐπίχαρμα
5 ἐχθρῶν ποιήσει αὐτήν. λάρυγξ γλυκὺς πληθυνεῖ
φίλους αὐτοῦ, καὶ γλῶσσα εὔλαλος πληθυνεῖ εὐπροσήγορα.
6 οἱ εἰρηνεύοντές σοι ἔστωσαν πολλοί, οἱ δὲ σύμβουλοί σου
7 εἷς ἀπὸ χιλίων. εἰ κτᾶσαι φίλον, ἐν περισπασμῷ
κτῆσαι αὐτόν, καὶ μὴ ταχὺ ἐμπιστεύσῃς αὐτῷ σεαυτόν.
8 ἔστι γὰρ φίλος ἐν καιρῷ αὐτοῦ, καὶ οὐ μὴ παραμείνῃ ἐν
9 ἡμέρᾳ θλίψεώς σου. καὶ ἔστι φίλος μετατιθέμενος
εἰς ἔχθραν, καὶ μάχην ὀνειδισμοῦ σου ἀποκαλύψει· 151[1]
10 καὶ ἔστι φίλος κοινωνὸς τραπεζῶν, καὶ οὐ μὴ παραμείνῃ
11 ἐν ἡμέρᾳ θλίψεώς σου. καὶ ἐν τοῖς ἀγαθοῖς σου ἔσται
ὡς σύ, καὶ ἐπὶ τοὺς οἰκέτας σου παρρησιάσεται·
12 ἐὰν ταπεινωθῇς, ἔσται κατὰ σοῦ· καὶ ἀπὸ προσώπου σου
13 κρυβήσεται. ἀπὸ τῶν ἐχθρῶν σου διαχωρίσθητι,
καὶ ἀπὸ τῶν φίλων σου πρόσεχε.
14 φίλος πιστὸς σκέπη κραταιά· ὁ δὲ εὑρὼν αὐτὸν εὗρε θη-

5 Cod. πληθύνει



© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-108-03972-7 - Ecclesiasticus: The Greek Text of Codex 248: Edited with a Textual Commentary and Prolegomena
Edited by J. H. A Hart
Excerpt
More information



σαυρόν. φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα, καὶ οὐκ ἔστι 15
σταθμὸς τῆς καλλονῆς αὐτοῦ.
φίλος πιστὸς φάρμακον ζωῆς, καὶ οἱ φοβούμενοι τὸν κύριον 16
εὑρήσουσιν αὐτόν. ὁ φοβούμενος Κύριον εὐθυνεῖ φιλίαν 17
αὐτοῦ, ὅτι κατ᾿ αὐτὸν οὕτως καὶ οἱ πλησίον αὐτοῦ.
τέκνον, ἐκ νεότητός σου ἐπίλεξαι παιδείαν, καὶ ἕως 18
πολιῶν εὑρήσεις σοφίαν· καὶ ἀνάμενε τοὺς ἀγαθοὺς 19
καρποὺς αὐτῆς. ἐν γὰρ τῇ ἐργασίᾳ αὐτῆς ὀλίγον
κοπιάσεις, καὶ ταχὺ φάγεσαι ἀπὸ τῶν γενημάτων αὐτῆς.
ὡς τραχεῖά ἐστι σφόδρα τοῖς ἀπαιδεύτοις, καὶ οὐκ ἐμμενεῖ 20
ἐν αὐτῇ ἀκάρδιος. ὡς λίθος δοκιμασίας ἰσχυρὸς 21
ἔσται ἐπ᾿ αὐτῷ· καὶ οὐ χρονιεῖ ἀπορρίψαι αὐτήν.
σοφία γὰρ κατὰ τὸ ὄνομα αὐτῆς ἐστι, καὶ οὐ πολλοῖς ἐστι φανερά. 22
ἄκουσον, τέκνον, καὶ ἔκλεξαι γνώμην μου, καὶ μὴ ἀπα- 23
ναίνου τὴν συμβουλίαν μου·
καὶ εἰσένεγκαι τοὺς πόδας σου εἰς τὰς πέδας αὐτῆς, καὶ εἰς 24
τὸν κλοιὸν αὐτῆς τὸν τράχηλόν σου·
ὑπόθες τὸν ὦμόν σου καὶ βάσταξον αὐτήν, καὶ μὴ προσο- 25
χθίσῃς τοῖς δεσμοῖς αὐτῆς. ἐν πάσῃ ψυχῇ σου πρόσελθε 26
αὐτῇ, καὶ ἐν ὅλῃ δυνάμει σου συντήρησον τὰς ὁδοὺς αὐτῆς.
ἐξίχνευσον καὶ ζήτησον, καὶ γνωσθήσεταί σοι· καὶ ἐγκρατὴς 27
151² γενόμενος μὴ ἀφῇς αὐτήν· ἐπ᾿ ἐσχάτων γὰρ εὑρήσεις 28
τὴν ἀνάπαυσιν αὐτῆς, καὶ στραφήσεταί σοι εἰς εὐφροσύνην·
καὶ ἔσονταί σοι αἱ πέδαι αὐτῆς εἰς σκέπην ἰσχύος, καὶ οἱ 29
κλοιοὶ αὐτῆς εἰς στολὴν δόξης. κόσμος γὰρ χρύσεός 30
ἐστιν ἐπ᾿ αὐτῆς, καὶ οἱ δεσμοὶ αὐτῆς κλῶσμα ὑακίνθινον·
στολὴν δόξης ἐνδύσῃ αὐτήν, καὶ στέφανον ἀγαλλιάματος 31
περιθήσεις σεαυτῷ. ἐὰν θέλῃς, τέκνον, παιδευθήσῃ, 32
καὶ ἐὰν ἐπιδῷς τὴν ψυχήν σου, πανοῦργος ἔσῃ.
ἐὰν ἀγαπήσῃς ἀκούειν, ἐκδέξῃ σύνεσιν, καὶ ἐὰν κλίνῃς 33
τὸ οὖς σου, σοφὸς ἔσῃ. ἐν πλήθει πρεσβυτέρων στῆθι· καὶ 34
τίς σοφός; αὐτῷ προσκολλήθητι. πᾶσαν διήγησιν θείαν 35
θέλε ἀκροᾶσθαι, καὶ παροιμίαι συνέσεως μὴ ἐκφευγέ-
τωσάν σε. ἐὰν ἴδῃς ἄνδρα συνετόν, ὄρθριζε πρὸς 36
αὐτόν, καὶ βαθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου.
διανοοῦ ἐν τοῖς προστάγμασι Κυρίου τελείως, καὶ ἐν ταῖς ἐντολαῖς 37

28 Cod. ἐπεσχάτων 34 Cod. prima manu σοὶ : secunda σοφο



© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-108-03972-7 - Ecclesiasticus: The Greek Text of Codex 248: Edited with a Textual Commentary and Prolegomena
Edited by J. H. A Hart
Excerpt
More information



αὐτοῦ μελέτα διὰ παντός. αὐτὸς στηριεῖ τὴν καρδίαν σου,
καὶ ἡ ἐπιθυμία τῆς σοφίας δοθήσεταί σοι.
VII. 1 μὴ ποίει κακά, καὶ οὐ μή σε καταλάβῃ κακά·
2 ἀπόστηθι ἀπὸ ᾀδίκου, καὶ ἐκκλινεῖ ἀπὸ σοῦ ἁμαρτία.
3 υἱέ, μὴ σπεῖρε ἐπ' αὔλακας ἀδικίας, καὶ οὐ μὴ θερίσῃς αὐτὰ
4 ἑπταπλάσια. μὴ ζήτει παρὰ Κυρίου ἡγεμονίαν, μηδὲ
παρὰ βασιλέως καθέδραν δόξης.
5 μὴ δικαιοῦ ἔναντι Κυρίου, καὶ παρὰ βασιλεῖ μὴ σοφίζου.
6 μὴ ζήτει γενέσθαι κριτής, καὶ οὐκ ἰσχύσεις ἐξᾶραι ἀδικίας·
μήποτε εὐλαβηθῇς ἀπὸ προσώπου δυνάστου, καὶ θήσεις
7 σκάνδαλον ἐν εὐθύτητί σου. μὴ ἁμάρτανε εἰς πλῆθος
πόλεως, καὶ οὐ μὴ καταβάλῃς σεαυτὸν ἐν ὄχλῳ.
8 μὴ καταδεσμεύσῃς δὶς ἁμαρτίαν, ἐν γὰρ μιᾷ οὐκ ἀθῷος
9 ἔσῃ. μὴ εἴπῃς· τῷ πλήθει τῶν δώρων μου ἐπόψεται,
καὶ ἐν τῷ προσενέγκαι με θεῷ ὑψίστῳ προσδέξεται. 152[1]
10 μὴ ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σου, καὶ ἐλεημοσύνην
11 ποιῆσαι μὴ παρίδῃς. μὴ καταγέλα ἄνθρωπον ὄντα ἐν πι-
κρίᾳ ψυχῆς αὐτοῦ· ἔστι γὰρ ὁ ταπεινῶν καὶ ἀνυψῶν.
12 μὴ ἀροτρία ψεῦδος ἐπ' ἀδελφῷ σου, μηδὲ φίλῳ τὸ ὅμοιον
13 ποίει. μὴ θέλε ψεύδεσθαι πᾶν ψεῦδος· ὁ γὰρ ἐνδελε-
χισμὸς αὐτοῦ οὐκ εἰς ἀγαθόν.
14 μὴ ἀδολέσχει ἐν πλήθει πρεσβυτέρων, καὶ μὴ δευτερώσῃς
15 λόγον ἐν προσευχῇ σου. μὴ μισήσῃς ἐπίπονον ἐργασίαν
καὶ γεωργίαν ὑπὸ Ὑψίστου ἐκτισμένην.
16 μὴ προσλογίζου σεαυτὸν ἐν πλήθει ἁμαρτωλῶν·
17 μνήσθητι ὅτι ὀργὴ οὐ χρονιεῖ. ταπείνωσον σφόδρα τὴν
ψυχήν σου· ὅτι ἐκδίκησις ἀσεβοῦς πῦρ καὶ σκώληξ.
18 μὴ ἀλλάξῃς φίλον ἀδιαφόρου κατὰ μηδὲ ἕν, μηδὲ ἀ-
δελφὸν γνήσιον ἐν χρυσίῳ Σουφείρ.
19 μὴ ἀστόχει γυναικὸς σοφῆς καὶ ἀγαθῆς, ἡ γὰρ χάρις αὐτῆς
20 ὑπὲρ τὸ χρυσίον. μὴ κακώσῃς οἰκέτην ἐργαζόμενον
ἐν ἀληθείᾳ, μηδὲ μίσθιον διδόντα τὴν ψυχὴν αὐτοῦ·
21 οἰκέτην συνετὸν ἀγαπάτω σου ἡ ψυχή· μὴ στερήσῃς αὐτὸν
22 ἐλευθερίας. κτήνη σοί ἐστιν; ἐπισκέπτου αὐτά, καὶ εἰ
ἐστί σοι χρήσιμα, ἐμμενέτω σοι·
23 τέκνα σοί ἐστι; παίδευσον αὐτά, καὶ κάμψον ἐκ νεότητος

2 Cod. ἐκκλίνει



© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-108-03972-7 - Ecclesiasticus: The Greek Text of Codex 248: Edited with a Textual Commentary and Prolegomena
Edited by J. H. A Hart
Excerpt
More information



τὸν τράχηλον αὐτῶν. θυγατέρες σοί εἰσι; πρόσεχε τῷ 24
σώματι αὐτῶν, καὶ μὴ ἱλαρύνῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου.
ἔκδου θυγατέρα, καὶ ἔσῃ τετελεκὼς ἔργον μέγα, καὶ ἀνδρὶ 25
συνετῷ δώρησαι αὐτήν. γυνή σοι ἐστὶ κατὰ ψυχήν; 26
μὴ ἐκβάλῃς αὐτήν. μισουμένῃ δὲ μὴ ἐκδῷς σεαυτόν.
ἐν ὅλῃ καρδίᾳ δόξασον τὸν πατέρα σου, καὶ μητρὸς ὠδῖνας μὴ ἐπι- 27
λάθῃ. μνήσθητι ὅτι δι' αὐτῶν ἐγεννήθης, καὶ τί ἀνταπο- 28
152[2] δώσεις αὐτοῖς καθὼς αὐτοὶ σοί; ἐν ὅλῃ ψυχῇ σου εὐλαβοῦ 29
τὸν κύριον, καὶ τοὺς ἱερεῖς αὐτοῦ θαύμαζε·
ἐν ὅλῃ δυνάμει ἀγάπησον τὸν ποιήσαντά σε, καὶ τοὺς λει- 30
τουργοὺς αὐτοῦ μὴ ἐγκαταλίπῃς.
φοβοῦ τὸν κύριον καὶ δόξασον ἱερέα, καὶ δὸς τὴν μερίδα αὐτῷ 31
καθὼς ἐντέταλταί σοι, ἀπαρχὴν καὶ περὶ πλημμελείας
καὶ δόσιν βραχιόνων καὶ θυσίαν ἁγιασμοῦ καὶ ἀπαρχὴν
ἁγίων. καὶ πτωχῷ ἔκτεινον τὴν χεῖρά σου, ἵνα τελειωθῇ 32
ἡ εὐλογία σου. χάρις δόματος ἔναντι παντὸς ζῶντος, 33
καὶ ἐπὶ νεκρῷ μὴ ἀποκωλύσῃς χάριν.
μὴ ὑστέρει ἀπὸ κλαιόντων, καὶ μετὰ πενθούντων πένθησον. 34
μὴ ὄκνει ἐπισκέπτεσθαι ἄρρωστον· ἐκ γὰρ τῶν τοιούτων ἀγαπηθήσῃ. 35
ἐν πᾶσι τοῖς λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν 36
αἰῶνα οὐχ ἁμαρτήσεις. μὴ διαμάχου μετὰ ἀνθρώπου 1 VII
δυνάστου, μή ποτε ἐμπέσῃς εἰς τὰς χεῖρας αὐτοῦ.
μὴ ἔριζε μετὰ ἀνθρώπου πλουσίου, μή ποτε ἀντιστήσει σου τὴν ὁλκήν· 2
πολλοὺς γὰρ ἀπώλεσε τὸ χρυσίον, καὶ καρδίας βασιλέων
ἐξέκλινε. μὴ διαμάχου μετὰ ἀνθρώπου γλωσσώδους, καὶ μὴ 3
ἐπιστοιβάσῃς ἐπὶ τὸ πῦρ αὐτοῦ ξύλα.
μὴ πρόσπαιζε ἀπαιδεύτῳ, ἵνα μὴ ἀτιμάζωνται οἱ πρόγονοί σου. 4
μὴ ὀνείδιζε ἄνθρωπον ἐπιστρέφοντα ἀπὸ ἁμαρτίας· μνήσθητι ὅτι 5
πάντες ἐσμὲν ἐν ἐπιτιμίοις. μὴ ἀτιμάσῃς ἄνθρωπον ἐν γήρᾳ 6
αὐτοῦ, καὶ γὰρ ἐξ ἡμῶν γηράσκουσι.
μὴ ἐπίχαιρε ἐπὶ νεκρῷ τῷ ἐχθροτάτῳ σου· μνήσθητι ὅτι 7
πάντες τελευτῶμεν. μὴ παρίδῃς διήγημα σοφῶν, καὶ 8
ἐν ταῖς παροιμίαις αὐτῶν ἀναστρέφου·
ὅτι παρ' αὐτῶν μαθήσῃ παιδείαν καὶ λειτουργῆσαι μεγιστᾶσιν
εὐμαρῶς. μὴ ἀστόχει διηγήματος γερόντων, καὶ γὰρ αὐτοὶ 9
ἔμαθον παρὰ τῶν πατέρων αὐτῶν· ὅτι παρ' αὐτῶν μαθήσῃ
153[1] σύνεσιν· καὶ ἐν καιρῷ χρείας δοῦναι ἀπόκρισιν.
μὴ ἔκκαιε ἄνθρακας ἁμαρτωλοῦ, μὴ ἐμπυρισθῇς ἐν πυρὶ 10



© in this web service Cambridge University Press www.cambridge.org